**Αινείας Γαζαίος, *Θεόφραστος* (42.22-43.21, 47.21-51.23 Colonna)**

**ΘΕ.** Ψυχῆς μὲν οὖν πέρι οὐδὲν ἀμφισβητήσιμον ἀπολείπεις, Εὐξίθεε· οἴει δὲ τόνδε τὸν κόσμον χρόνῳ ποτὲ διαλύεσθαι;

**ΕΥ.** Εἴπερ ἔνυλον γέγονεν, ὦ ἑταῖρε, καὶ μὴ αὐτόματον τὸ τουτὶ καλὸν θέαμα.

**ΘΕ.** Πῶς λέγεις;

**ΕΥ.** Ἡ τῶν σωμάτων γένεσις, οἷα δὴ κίνησις οὖσα, μένειν οὐκ ἐθέλει· ποία γὰρ κίνησις μένειν ἐθέλει; ἀεὶ δὲ τοῦ τελείου καὶ ἑνὸς ὅθεν προῆλθεν ὀρέγεται καὶ πρὸς ἐκεῖνο σπεύδει καὶ ἐπείγεται· οὐ γὰρ μάτην ἡ κίνησις, οὐδέ ποτε ἄρα στήσεται, ἕως ἂν τὸ ποθούμενον εὕροι· εὑρήσει δὲ ὅταν ὁ Δημιουργὸς αὐτὸς βούληται· βουλήσεται δὲ ὅταν ἐπιτήδειον ᾖ. Μετὰ γὰρ τὴν τῶν ψυχῶν δοκιμασίαν καὶ τὸν προφανῆ τῆς κακίας ἔλεγχον τὸ αἰσθητὸν ὅλον ἐπὶ τὸ ἀθάνατον μεταλλάξει, ὥστε συνᾴδειν τῇ τῶν ἀνθρώπων ἀθανασίᾳ καὶ πάλιν οἰκεῖον γενέσθαι τὸν τόπον τῇ τῶν ἐνοικούντων εὐδαιμονίᾳ· ἔδει γὰρ θνητῷ κόσμῳ θνητὸν ζῷον ἐνδιαιτᾶσθαι, ἀθανάτῳ δὲ τὸ ἀθάνατον· μία γὰρ τοῦ παντὸς σύμπνοια καὶ ἄτακτον οὐδὲν οὐδὲ ἀσύμφωνον, ἀλλ' ἕκαστον ἑκάστῳ φίλιόν τε καὶ ἐπιτήδειον καὶ τὴν τοῦ Δημιουργοῦ βούλησιν πεποίηται φύσιν. Σοφοῦ δὲ οἶμαι καὶ δυνατοῦ τὰ αὐτὰ θνητὰ καὶ ἀθάνατα μεταποιεῖν. Ἢ πόσης σοφίας καὶ δυνάμεως μήτε τὸ θνητὸν ἡμᾶς ἀγνοεῖν, μήτε ἐν αὐτῷ διαμένειν;

**ΘΕ.** Πότερον οὖν κακῶς τόδε τὸ πᾶν συνετέθη;

**ΕΥ.** Οὔμενουν ἦν ἄμεινον.

**ΘΕ.** Πῶς οὖν λυθήσεται;

**ΕΥ.** Ὅτι τὸ συνδεθὲν οὐχ ἁπλοῦν, ἄλλο γὰρ ἄλλῳ συμπέπλεκται. Τὸ δὲ ἐκ πολλῶν καὶ ἀνομοίων καὶ ἐναντίων συντεθὲν εὐδιάλυτον τῇ δυνάμει· τὸ δὲ δύναμιν πρὸς διάλυσιν ἔχον ἐπιτηδείαν ἐνεργήσει ποτὲ τοῦτο ὅπερ ἡ δύναμις ὤδινε.

**ΘΕ.** Τί δέ; Τὸ καλῶς συνδεθὲν καὶ ἁρμοσθὲν λύειν σοφίας εἶναί σοι δοκεῖ;

**ΕΥ.** Εἰ τὰ μέρη θνητὰ καταλέλοιπε καὶ τὸ ὅλον διαλύειν προδιώρισεν· ἐξ ἐκείνων γὰρ τοῦτο. Εἰ ὀφθαλμὸς καὶ δάκτυλος καὶ μέρος ἕκαστον παθεῖν δύναται, οὐκ ἀπαθὲς τὸ σῶμα, ἀλλὰ τὸ ὅλον τοῖς μέρεσι ταὐτὸ πείσεται. Ἔπειτα εἰ μὲν ἡ λύσις φθορὰν εἰσῆγε τῷ παντί, λύειν ἀνόητον ἦν· εἰ δὲ τὴν φθορὰν αὐτὴν ἡ λύσις καταλύσει, μεγάλης σοφίας καὶ ἀφάτου δυνάμεως τὰ θνητὰ ποιεῖν ἀθάνατα.

**ΘΕ.** Τί οὖν μὴ τὴν ἀρχὴν πεποίηκε; Πότερον οὐκ ἠδύνατο, ἢ οὐκ ἠβούλετο;

**ΕΥ.** Τῆς τοῦ Θεοῦ βουλήσεως οὐκ ἀπολείπεται δύναμις· βουληθεὶς γοῦν τὰ νοητὰ πεποίηκεν ἀθάνατα, τὰ δὲ αἰσθητὰ οἷα καὶ μετατίθεσθαι.

**ΘΕ.** Διὰ φθόνον ἢ τί;

**ΕΥ.** Ἀγαθῷ περὶ οὐδενὸς φθόνος οὐδείς· ἀλλ’ εἰ πάντα ὅμοια ἦν, οὐδὲ ἦν, ἓν γὰρ ἦν. [...] Διὸ δὴ προκατέσπειρε [sc. Δημιουργὸς] καὶ τοῖς θνητοῖς τὸ ἀθάνατον, ὃ καὶ βλαστήσει ποτὲ καὶ κρατήσει καὶ τὸ ἔλαττον ἐκτρίψει καὶ πρὸς ἑαυτὸ μετασκευάσει καὶ ἀειθαλεῖς ἕξει τοὺς καρπούς. Καὶ παράδειγμα τοῦδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι, τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὸ ἀκραιφνέστατον ἀθάνατον καὶ νῦν διασῴζεται, ὃ δὴ Ὄλυμπόν τε καὶ Μακάρων Νήσους καὶ Ἠλύσιον πολλάκις ὀνομάζει τὰ λόγια, εἰς ἀπόδειξιν ὅτι τὸ ὅλον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἔσται τοιοῦτον· οὐδὲν γὰρ παρὰ τοῦ Δημιουργοῦ γενόμενον παντελῶς θνητόν· οὔκουν διαμένει θνητόν. Συγχωρεῖ δὲ τὸ αἰσθητὸν καὶ ἔνυλον χρόνον τινὰ γένεσιν καὶ φθορὰν ὑποδέχεσθαι, μεῖζον ἀγαθὸν προνοούμενος, ἅμα μὲν [...]
ἅμα δὲ καὶ ταῖς λογικαῖς οὐσίαις ἐνδεικνύμενος, ὅτι μὴ δι’ ἀνάγκην, ἀλλὰ κατὰ δωρεὰν τὴν ἀθανασίαν αὐταῖς χαρίζεται καὶ ἐν τοῖς πρώτοις ἑκὼν τίθησιν οὐ τῶν δευτέρων ἀπορίᾳ καὶ ὡς δεῖ τὰ πρῶτα τῶν δευτέρων ἐπιμελεῖσθαι καὶ μηδὲν ἐξ αὐτῶν ἐμπίπλασθαι, ἀλλὰ τῶν ἐσχάτων ἐφάπτεσθαι καὶ τῆς ἀρχῆς ἐξηρτῆσθαι καὶ πρὸς αὐτὴν ἀεὶ βλέπειν καὶ ποιεῖν τὸ κελευόμενον καὶ ἄρχεσθαι μᾶλλον ἢ ἄρχειν βούλεσθαι· ἐλευθερία γὰρ καὶ ὡς ἀληθῶς δύναμις τῷ ἀγαθῷ δουλεύειν ἐφίεσθαι. Δεῖ τοίνυν τοὺς λογικὴν οὐσίαν μεταλαχόντας ἑκόντας ἄρχεσθαι σεμνῶς, εἰ μέλλουσι τῷ αὐτεξουσίῳ κεχρῆσθαι καλῶς, ὃ δὴ μέγιστον παρὰ τοῦ Δημιουργοῦ τῆς ἀθανασίας ἔχουσι σύμβολον. Εἰ δὲ ὑπηρετεῖν τῷ πρώτῳ βαρύνονται, καὶ ὅτι μὴ πρῶτος αὐτὸς ἕκαστος γέγονε, δυσχεραίνει καὶ τυραννίδος ὀρέγεται καὶ παρανομεῖν ἄρχεται τῆς τάξεως ἀποσπασθέντες εἰς ἀταξίαν πεσοῦνται καὶ τῆς τοῦ βασιλέως ἀστραπῆς ἀποστάντες θνητοὶ μὲν οὐκ ἔσονται, ἀθάνατοι παρ’ αὐτοῦ τὸ πρῶτον γενόμενοι, ἀλλ’ οἷον ἐν σκότει τῶν θνητῶν αἰσθήσονται καὶ ὥσπερ εἰς ποταμὸν ἐμπεσόντες τῇ καὶ τῇ φέρονται κρατούμενοι μᾶλλον ἢ κρατοῦντες. [...] Τοῖς δὲ ἀπὸ τῆς Στοᾶς ἐδόκει πολλάκις μὲν φθείρεσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν, πολλάκις δὲ ἀνανεοῦσθαι. Ἀλλ’ εἰ πάλιν φθείρεσθαι μέλλοι, μεταλλάττειν περίεργον. Οὐκοῦν ἄμεινον ἡ εἰς ἅπαξ μεταβολή, μεθ’ ἣν οὐκέτι μεταβολή, καὶ ὁ ἄνθρωπος ἀναβιώσεται οὐχ ὥστε πάλιν τεθνάναι· οὐδὲν γὰρ ἔσται θνητόν, ἀλλὰ πάντα καινὰ καὶ ἀθάνατα καὶ ὁ πᾶς οὗτος κόσμος καὶ ὁ ἄνθρωπος.